ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ισραηλ
δοῦναι εὐλογίαν κυρίου ἐκ χειλέων αὐτοῦ
καὶ ἐν ὀνόματι αὐτοῦ καυχήσασθαι·
21 καὶ ἐδευτέρωσαν ἐν προσκυνήσει
ἐπιδέξασθαι τὴν εὐλογίαν παρὰ ὑψίστου.
22 Καὶ νῦν εὐλογήσατε τὸν θεὸν πάντων
τὸν μεγάλα ποιοῦντα πάντη,
τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας
καὶ ποιοῦντα μεθ᾽ ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ.
23 δῴη ἡμῖν εὐφροσύνην καρδίας
καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν
ἐν Ισραηλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος·
24 ἐμπιστεῦσαι μεθ᾽ ἡμῶν τὸ ἔλεος αὐτοῦ
καὶ ἐν ταῖς ἡμέραις ἡμῶν λυτρωσάσθω ἡμᾶς.
25 Ἐν δυσὶν ἔθνεσιν προσώχθισεν ἡ ψυχή μου,
καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος·
26 οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας καὶ Φυλιστιιμ
καὶ ὁ λαὸς ὁ μωρὸς ὁ κατοικῶν ἐν Σικιμοις.
27 Παιδείαν συνέσεως καὶ ἐπιστήμης
ἐχάραξεν ἐν τῷ βιβλίῳ τούτῳ
Ἰησοῦς υἱὸς Σιραχ Ελεαζαρ ὁ Ιεροσολυμίτης,
ὃς ἀνώμβρησεν σοφίαν ἀπὸ καρδίας αὐτοῦ.
28 μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται,
καὶ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται·
29 ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύσει·
ὅτι φῶς κυρίου τὸ ἴχνος αὐτοῦ.

51 1 Ἐξομολογήσομαί σοι, κύριε βασιλεῦ,
καὶ αἰνέσω σε θεὸν τὸν σωτῆρά μου,
ἐξομολογοῦμαι τῷ ὀνόματί σου,
2 ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι
καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας
καὶ ἐκ παγίδος διαβολῆς γλώσσης,
ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος

$20^{2}$ πασαν > A† | $20^{3}$ κυριω BA | $20^{4}$ καυχασθαι B† || $21^{1}$ εδευτερωσαν V] -σεν BSA | εν] επι A† | προσκυν.] + κυριου S^c† | $21^{2}$ επιδεξ. compl.] επιδ(ε)ιξ. BSA || $22^{1}$ τον θεον compl.] τω θεω BSA | παντες B | $22^{2}$ τον .. ποιουντα compl.] τω .. ποιουντι BSA (B† τω μεγαλοποιουντι) || $23^{1}$ υμιν BA | $23^{3}$ εν] + τω S^c† || $24^{2}$ ημων pau. (cf. $22^{3}$ $23^{2}$)] αυτου rel. || $26^{1}$ και > BS | $26^{2}$ ο 1⁰ > S | ο 2⁰ > B || $27^{2}$ εχαραξεν εν unus cod.] εχαραξεν pau., εχαραξα εν rel. | $27^{3}$ σειρακ S† | ιεροσολ.] ιερευς ο σολυμειτης S*† | $27^{4}$ σοφιας S*† || $28^{2}$ θεις] pr. ο S* || $29^{1}$ αυτα] ταυτα A | ισχυ⟨ε⟩ι S
51 1] pr. titulum προσευχη ιησου υιου σ(ε)ιραχ BSA: cf. 18 30 | $1^{1}$ εξομολογουμαι A, $1^{3}$ εξομολογησομαι compl. | $1^{2}$ σε > A || $2^{3}$ διαβουλης A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/472 UNIVERSITÄT LEIPZIG